στοῦ ἕως τοῦ πρώτου ἔτους τῆς βασιλείας τοῦ ἁγίου Κωνσταντίνου, ἔτη σϞζ΄· ὁμοῦ ἀπὸ κτίσεως κόσμου ἕως τοῦ ἐν ἁγίοις Κωνσταντίνου ͵εωλ΄. (1)

## ΠΡΩΤΟΣ ΒΑΣΙΛΕΥΣ ΕΥΣΕΒΩΝ ΚΩΝΣΤΑΝΤΙΝΟΣ.

Κωνσταντῖνος ὁ μέγας καὶ ἅγιος καὶ ἰσαπόστολος, καὶ πρῶτος τῶν χριστιανῶν βασιλέων, ὁ καὶ κτήτωρ τῆς Κωνσταντίνου πόλεως, ἐβασίλευσεν ἐν μὲν τῇ πρεσβυτέρᾳ Ῥώμῃ ιβ΄, ἐν δὲ τῇ νεωτέρᾳ καὶ βασιλίδι τῶν πόλεων Κωνσταντινουπόλει ἔτη κ΄, καὶ μῆνας ι΄· ἦν δὲ ὅτε ἐβασίλευσεν ἐτῶν τριάκοντα δύο, ὡς εἶναι τὰ πάντα τῆς ἐπὶ γῆς ζωῆς αὐτοῦ ἔτη ἑξήκοντα καὶ πέντε· ἔχει δὲ τὰ κατ' αὐτὸν οὕτως.

---

(1) Παρεντίθεται εἰς συμπλήρωσιν τοῦ λευκοῦ χάρτου τὰ ἑξῆς δύο σημειώματα: Περὶ τῶν ἑπτὰ Θεαμάτων.
Αἱ ἐν Αἰγύπτῳ πυραμίδες
ὁ πύργος τοῦ Φάρου ὑψηλὸς ὢν λίαν
ὁ ἐν Ῥόδῳ κολοσσὸς
Οἱ τοῦ Μαυσώλου τάφος ἐν Καρίᾳ
ὁ ἐν Κυζίκῳ ναός
τὸ θέατρον Λυκίας τῶν Μύρων
καὶ τὸ Ρουφίνειον ἄλσος Περγάμῳ.
[Καὶ τὰ γνωστὰ] ἀποφθέγματα τῶν ἑπτὰ σοφῶν.